μὴ καταισχυνθείην, ὅτι ἐπεκαλεσάμην σε.

Αἰσχυνθείησαν ἀσεβεῖς καὶ καταχθείησαν εἰς ᾅδου.

Ἄλαλα γενηθήτω τὰ χείλη τὰ δόλια τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν ἐν ὑπερηφανίᾳ καὶ ἐξουδενώσει.

Ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου κύριε, ἧς ἔκρυψας τοῖς φοβουμένοις σε.

Ἐξειργάσω τοῖς ἐλπίζουσιν ἐπὶ σέ, ἐναντίον τῶν υἱῶν τῶν ἀνθρώπων.

Κατακρύψεις αὐτοὺς ἐν ἀποκρύφῳ τοῦ προσώπου σου, ἀπὸ ταραχῆς ἀνθρώπων.

Σκεπάσεις αὐτοὺς ἐν σκηνῇ, ἀπὸ ἀντιλογίας γλωσσῶν.

Εὐλογητὸς κύριος ὅτι ἐθαυμάστωσε τὸ ἔλεος αὐτοῦ ἐν πόλει περιοχῆς.

Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου, ἀπέρριμμαι ἀπὸ προσώπου τῶν ὀφθαλμῶν σου.

Διὰ τοῦτο εἰσήκουσας τῆς φωνῆς τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι με πρὸς σέ.

Ἀγαπήσατε τὸν κύριον πάντες οἱ ὅσιοι αὐτοῦ, ὅτι ἀληθείας ἐκζητεῖ κύριος, καὶ